## 2. Discipulis suis

*Philippopoli Constantinopolim, post a. 1157*

200] *Τοῖς ἐμοῖς ποτὲ ῥήτορσιν ὁ ποτὲ ῥήτωρ, τοῖς φοιτηταῖς ὁ διδάσκαλος· ἀλλὰ χαίροιτε καὶ σοφίζοισθε. ἡμᾶς γὰρ ἀπολέλοιπε καὶ τὸ χαίρειν καὶ τὸ σοφίζειν, πολλῷ μέντοι χεῖρον ἢ τὸν Κίλικα σοφιστὴν καὶ τῆς σοφιστικῆς πατέρα καὶ τεχνωτήν, εἴπερ ʽτὸ μὲν μὴ φρονεῖν κάρτ᾽ ἀνώδυνον [ὂν] κακόν, τὸ δ᾽ ἐσλεύσσειν οἰκεῖα κακὰ μεγάλας ὀδύνας ὑποτείνει᾽. καὶ κατ᾽ ἄμφω τὸ τῆς τραγῳδίας κομψὸν οὐ διέπεσεν. εἴη ἂν οὖν [οὐ] τὸ μὲν ἐκείνου ὡς ἐν κακοῖς ἕρμαιον, τὸ δ᾽ ἡμέτερον ἄμικτος τοῖς κακοῖς συμφορά. τοῦτο μέντοι τὸ ξυνειδέναι ὅτι μεμήνει καὶ πρὸ τοῦ ξίφους τὸν Τελαμῶνος ἐκέντει, ἡ ʽξύνεσις᾽ αὕτη καὶ τὸν Ἀγαμέμνονος Ὀρέστην οὐχ ἧττον τῶν Ἐρινύων ἐτροχηλάτει. ἐπαινῶ μὲν τὸν Σύρον ἐκεῖνον τὸν σοφιστήν, τὸν εἴρωνα τὸν φιλοπαίγμονα τὸν γελοιαστήν· εἰ γὰρ καὶ ʽφιλέει κέρτομα βάζειν᾽, ἀλλ᾽ οἶδε καὶ γελᾶν οὐκ ἀπαίδευτα. ὁ δὲ ἄρα τοῖς ἀσεβέσιν ἐν Ἅιδου τοῦ τῆς λήθης κρατῆρος φθονεῖ καὶ τὴν τῆς λύπης ἀψινθίαν πικράζουσαν μᾶλλον ἀντικιρνᾷ· οὕτως ἡμᾶς ὁ δαίμων πολλὰ μὲν ἐπίκρανεν, ὀλίγα δὲ τῆς μνήμης παρείλετο. ἠκόνησα τὸ ξίφος κατ᾽ ἐμαυτοῦ τοῖς ποτὲ φίλοις καὶ ξυμμάχοις ἀγνωμοσύνην ἐπεγκαλῶν, ὡς Αἴας ἐμάνην ὡς Ὀρέστης ἠτύχησα. ὁμολογῶ τὴν παραπληξίαν, οὐκ ἀρνοῦμαι τὴν ἀτυχίαν, κάκιστος εὑρέθην Μενέλαος, εἰς ἐμὲ ὑπεφθεγξάμην ποτὲ καὶ τοῦτο τῆς τραγῳδίας· ʽφεύγεις ἀποστραφείς με, τὰ δ᾽ Ἀγαμέμνονος φροῦδα; ἄφιλος ἄρ᾽ ἦσθ᾽, ὦ πάτερ, πράττων κακῶς᾽. ἀλλ᾽ οὐδ᾽ οὕτω κατῄδεσα τὸν ἀγνώμονα. διὰ ταῦτα τὴν ἀποδημίαν ἐβουλευσάμην καὶ φυγὴν ἐμαυτοῦ κατεψηφισάμην μακράν· καὶ νῦν συναναχρώννυμαι τὴν βάρβαρον γλῶτταν εἰς ἀμουσίαν ἐξέπεσον, οὐκέτι πρεσβεύω τοὺς λόγους οὐκέτι θύω ταῖς Μούσαις· παρῆκα τὸν Ἀργεϊφόντην Ἑρμῆν, τὸν ʽβροτολοιγὸν Ἄρεα᾽ σέβομαι· ἀεὶ πρὸς τῶν γειτονούντων πληττόμεθα, λαφυραγωγούμεθα, πολιορκούμεθα· καὶ δεῖ πάντως ὅπλων καὶ δορυφορίας, ἵν᾽ ἔχοιμεν καὶ τὸ προμηθὲς καὶ τὸ φοβερόν· οὕτω βάρβαρα πάντα καὶ τύραννα.*